# ΕΙΣ ΤΟΝ ΛΟΔΟΙΚΟΝ ΠΕΝΤΕ ΚΑΙΔΕΚΑΤΟΝ

## ΑΝΕΡΡΩΣΑΝΤΑ

Εἰδύλλιον.

## ΔΑΦΝΙΣ ΚΑΙ ΜΟΨΟΣ.

ΔΑΦΝΙΣ.

Τίπτ' ἐ, Μόψε, καθεζόμενοι πυκινῇ ὑπὸ φηγῷ
Ἤτοι ἀιγυρέυ χλοερὰν ῥέιθροιο παρ' ὄχθην,
Ἐκχωρἕντος ἐπεὶ ζέφυρος τῷ πνέυματι καῦμα
Ἠελίυ λέλυκεν ψυχρῷ, ἀρνες τε νέμονται,
Νυνὶ ἀμοιβαίοις φανερῶμεν χάρμα μέλεσσιν.
Ἐς πόλιν, ἣ Κάδμος λέγεται, ὤδευκα νεωςὶ,
Πολλὰ δ' ἐκεῖ περιβαλλἕσης τάγε λύχνια δάφνης
Θαύμαζον, πομπήν τε καλὴν, ὄινόν τε ῥέοντα,
Ζῇ Λοδοϊξ, ζῇ ἄναξ, δῆμος βεβόηκεν ἀπαυςι.
Ταῦτα πρὸ μικροτάτυ ἠκυχ', ἡμεῖς δὲ σιγῶμεν;

ΜΟΨΟΣ.

Ἄρχευ σὺ πρότερός, σοι ἕπεσθαί μ' ἐςὶ δίκαιον.

ΔΑΦΝΙΣ.

Πλῆκτρ' αἰρἕσι πάλιν μἕσαι καὶ Φοῖβος Ἀπόλλων,
Πάντοθεν ἀντηχεῖ Παρνήσσυ Πέτρα κροτἕσα,
Ὅτι ζῇ Λοδοϊξ Φράγκων μέγα κῦδος ἔρως τε.

ΜΟΨΟΣ.

Ὠλενικαὶ αὖθις λαμπροῖς ὑπὸ ὕδασι Νύμφαι
Κἕφοις τύπἶυσαι ποσὶ γαῖαν ἄγἕσι χορείας
Ἐξ ἕ Ἡρώων Λοδοϊξ ἔῤῥωσεν ἄριςος.

### ΔΑΦΝΙΣ.

Ὄμματα μὴ δάκρυον χεύσει, μὴ καρδία θρήνους,
Οὐκ ἤδη νομέων μεμφῆσιν ἀμείψεται Ἠχὼ,
Ὅττι ζῇ Λοδοΐξ Φράγκων μέγα κῦδος ἔρως τε.

### ΜΟΨΟΣ.

Οὔρεσιν ἀλλόμενοι Σάτυροι, Δρυάδες τε καθ' ὕλαν,
Πάντες ἀμέτρητον κατέχειν μὴ χάρμα δύνανται,
Ἐξ οὗ Ἡρώων Λοδοΐξ ἔῤῥωσεν ἄριστος.

### ΔΑΦΝΙΣ.

Βλέμματι Δημήτηρ γλυκερῷ εἰσώρακεν ἀγροὺς,
Ἱμερόεντα χυλὸν σταφυλῆς ἤγγειλεν Ἴακχος,
Ὅττι ζῇ Λοδοΐξ Φράγκων μέγα κῦδος ἔρως τε.

### ΜΟΨΟΣ.

Νυνὶ μελιφθόγγῳ χαριέστατον ᾆσμα φάρυγγι
Δένδρεσιν ἐν σκιεροῖς παίζουσ' ἀφίησιν ἀηδών,
Ἐξ οὗ Ἡρώων Λοδοΐξ ἔῤῥωσεν ἄριστος.

### ΔΑΦΝΙΣ.

Οὐ νῦν ἀγγέλλει κακὸν οἰώνισμα κορώνη,
Οὔτε βύας κρωγμῷ κατὰ νύκτα δεδίττεται ἡμᾶς,
Ὅττι ζῇ Λοδοΐξ Φράγκων μέγα κῦδος ἔρως τε

### ΜΟΨΟΣ.

Λαμπροτέρᾳ κόσμον θερμαίνει ἥλιος αὐγῇ,
Ἡ δὲ γαληνοτέραν φωτίζει νύκτα σελήνη,
Ἐξ οὗ Ἡρώων Λοδοΐξ ἔῤῥωσεν ἄριστος.

### ΔΑΦΝΙΣ.

Νέστορος εἴθε ποθ' ἡλικίαν Λοδοΐξ μεταβαίνοι,
Ὃν ζῆν ἀθάνατον Κελταὶ εὐχώμεθα πάντες.

### ΜΟΨΟΣ.

Ἔθνεσιν εἴθ' ὄφελεν Λοδοΐξ ποτε πᾶσιν ἀνάσσοι
Ἤδη ὃν κέκληκεν ἐράσμιον ἔθνεα πάντα.

Ἀπὸ τοῦ Ἰωαν. Ριχὴρ ἐκ
τῆς ἑτερ. τοῦ Ἰησοῦ.